TEZAUR LITURGIC

12 IUNIE

IOANNIS FOTOPOULOS

# PARACLISUL SF.CUVIOS ONUFRIE CEL MARE

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ
# ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ
# ΟΝΟΥΦΡΙΟΝ ΤΟΝ ΑΙΓΥΠΤΙΟΝ

**Πρωτοπρεσβύτερος Ιωάννης Φωτόπουλος**

Ευλογήσαντος του Ιερέως Το, Κύριε εισάκουσον

Είτα Θεός Κύριος και το Τροπάριον

Ήχος δ' Τη Θεοτόκω

Τον εν Περσίδι θεαυγέστατον Λύχνον

και της Αιγύπτου ευωδέστατον άνθος

τον θαυμαστόν Ονούφριον τιμήσωμεν

κράζοντες και λέγοντες, οσιώτατε Πάτερ

πάντας τους προστρέχοντας τη λαμπρά σου εικόνι

από αδίκου ρύσαι δικαστού

και πειρασμών και κινδύνων και θλίψεων.

Δόξα και νυν

Ου σιωπήσωμεν...

*Μετά ταύτα ο Ν'*

Είτα ο Κανών

*Ωδή α΄ Υγράν διοδεύσας*

Παθών και κινδύνων παντοδαπών

λύτρωσαί με τάχει τη πρεσβεία σου τη σεπτή

Ονούφριε πάτερ θεοφόρε

τον προσφυγόντα σοι πίστει και δάκρυσι.

Ιστόν ως αράχνης ταις σαίς ευχαίς

διάλυσον, Πάτερ, τας εν έδρας του πονηρού

και άδικον απόφασιν διάσπα

των δικαζόντων ασπλάγχνως τους δούλους σου.

Συμμάχησον δούλω σου ταπεινώ

εχθρών με λυτρώσας αοράτων και ορατών

την χάριν την δοθείσαν σοι προσνέμων

τω προσπεσόντι σοι Πάτερ Ονούφριε.

Θεοτοκίον

Μητέρα Θεού σε ως αληθή

τιμώμεν Παρθένε λιτανεύοντες ιερώς

εικόνα σου πάντοτε την θείαν

αγιασμόν αρυόμενοι άφθονον.

*Ωδή γ' Ουρανίας αψίδος*

Γυμνητεύων ερήμω και ενδυθείς Όσιε

την βασιλικήν πορφυρίδα της θείας χάριτος

δαίμονας γύμνωσον της φοβέρας τυραννίδος

θυρεόν παρέχων μοι Πάτερ του Πνεύματος.

Αδικίαις ποικίλαις και πειρασμοίς Όσιε

εξ αμαρτιών μου αμέτρων νυν περιέπεσα

αλλά συ φάνηθι ο κραταιός μου προστάτης

και κριτού αδίκου με ρύσαι Ονούφριε.

Φοβερώ κριτηρίω του Ιησού Όσιε

στήθι μετ' εμού ικετεύων τον ευδιάλλακτον

φρικτής κολάσεως εμέ λυτρώσασθαι Πάτερ

δεξιοίς προβάτοις με συναριθμούμενον.

Θεοτοκίον

Θεοτόκε Μαρία τον ποιητήν τέξασα

πρόφθασον αυτόν ταίς ευχαίς σου και καθικέτευσον

χαράν ουράνιον τη ταλαιπώρω ψυχή μου

δούναι και καρδίας μου λύσαι την στένωσιν.

Διάσωσον εκ πάσης θλίψεως νόσου και αθυμίας

τους ικέτας σου Πάτερ Ονούφριε

και κρίσιν μοι χάρισαί μοι δικαίαν.

Επίβλεψον...

*Κάθισμα Ήχος β' Πρεσβεία θερμή*

Θερμόν πρεσβευτήν προς Κύριον κεκτήμεθα

πολλών δυσχερών και πόνων εκλυτρούμενον

τον κλεινόν Ονούφριον ισαγγέλω βίω κοσμούμενον

και εξ ανόμου κρίσεως ημάς

απεγνωκότας ταχέως απαλλάττοντα.

*Ωδή δ' Εισακήκοα Κύριε*

Εισακήκοα Όσιε,

βίου σου ενθέου τα κατορθώματα

και προσπίπτω σοι δεόμενος

παύσιν των δεινών μου δωρηθήναι μοι.

Ει και έρημον ώκησας

και μακράν ανθρώπων τον βίον ίθυνας

των θερμώς παρακαλούντων σε

δίκην άδικον εκτρέπεις Πάτερ Όσιε.

Θεοφόρε Ονούφριε

σώμα σου το θείον εις γην κατέκρυψας

και ημών γεώδες φρόνημα

νέκρωσον πρεσβείαις σου πανόλβιε.

Θεοτοκίον

Ως ευώδες θυμίαμα

Μήτερ παναγία αι ικεσίαι σου

τω Δεσπότη αναφέρονται

τας ψυχάς ημών καταγλυκαίνουσαι.

*Ωδή ε' Φώτισον ημάς*

Νουν μου ρυπαρόν και καρδίαν μου ακάθαρτον

Σοι προσάγω ικετεύων εν κλαυθμώ

καθαρθήναι με πρεσβείαις σου, Ονούφριε.

Νύκτα Ιησού και ημέραν εξαιτούμεθα

δούναι άνεσιν ημίν εκ λυπηρών

Ονουφρίου ταις ευχαίς και ταις δεήσεσι.

Δίκασον εχθρούς ορατούς και αοράτους τε

πολεμούντας τας ψυχάς ημών αεί

και λυπούντας τους σούς δούλους Πάτερ Όσιε.

Θεοτοκίον

Μη με Μαριάμ καταλίπης βυθιζόμενον

απογνώσει των δαιμόνων φοβερά

αλλά χείρα σου υφάπλωσον και σώσον με.

*Ωδή στ' Την δέησιν*

Εμφέρειαν της μορφής σου Όσιε

καθορών παραμυθίας πληρούμαι

και ταις πολλαίς τρικυμίαις του βίου

επικλυσθείς ανακράζω σοι πρόφθασον

Ονούφριε ταις σαίς λιταίς

και του δράκοντος θράσος κατάβαλε.

Αιτήματα εκπληροίς Ονούφριε

των εν πίστει σε θεόφρον καλούντων

ότι τοιαύτη σοι χάρις εδόθη

από θυμού δικαστού ρύειν άπαντας

και άνεσιν εκ πειρασμών

και ειρήνην δωρείσθαι τοις δούλοις σου.

Φως έλαμψε τω σεπτώ προσώπω σου

και πνοή ευώδης Πάτερ εχύθη

εν τη λαμπρά εκ του κόσμου εξόδω

της μακαρίας ψυχής σου Ονούφριε

εξάγαγε ουν και ημάς

εκ δυσώδους σκοτίας θεόληπτε.

Θεοτοκίον

Θεόνυμφε παναγία Δέσποινα

καταφεύγομεν τη σκέπη σου πάντες

και ασφαλή στηριγμόν σε ευρόντες

αναβοώμεν σοι Χαίρε υπέρμαχε

των πεποιθότων η ελπίς

των πιστών η βέβαια αντίληψις.

Διάσωσον εκ πάσης θλίψεως νόσου και αθυμίας

τους ικέτας σου Πάτερ Ονούφριε

και κρίσιν μοι Πάτερ δίδου δικαίαν.

Άχραντε…

Κοντάκιον

Του σεπτού Ονουφρίου την μνήμην τελέσωμεν

εν ωδαίς και ύμνοις αυτόν καταστέφοντες

και προσπέσωμεν κράζοντες θεοφόρε βοήθησον

και τα πυρφόρα βέλη του Σατάν

σβέσον ευχαίς σου, την χάριν σου δωρούμενος.

Προκείμενον

Υπομένων υπέμεινα τον Κύριον

και προσέσχε μοι και εισήκουσε της δεήσεώς μου.

Στίχ. Και έστησεν επί πέτραν τους πόδας μου και

κατηύθυνε τα διαβήματά μου.

Ευαγγέλιον Οσιακόν

*Δόξα…Ταις του Οσίου…*

*Και νυν…Ταις της Θεοτόκου….*

*Εις τον στίχον Ελεήμον ελέησόν με ο Θεός…*

Τροπάριον *Ήχος πλ. β' Όλην αποθέμενοι*

Μη εάσης έρημον, θεομακάριστε Πάτερ

σκέπης και πρεσβείας σου

την ψυχήν μου, Άγιε την ταλαίπωρον·

σαρξ και κόσμος μάταιος

και εχθρός ο δόλιος, συνωθούσιν εις απώλειαν

εμέ τον δείλαιον πάθεσιν δεινοίς θηριάλωτον·

διο και ικετεύω σε χείρα σου αγίαν μοι έκτεινον

και του βροτοκτόνου εξάρπασόν με τάχος προς Χριστόν

αναγαγών με τον εύσπλαχνον,Όσιε Ονούφριε.

*Ωδή ζ' Οι εκ της Ιουδαίας*

Αφανώς βιοτεύσας εν ερήμω σπηλαίω καθάπερ άσαρκος

Θεώ ευαρεστήσας χαρίσματα ποικίλα

προσπηγάζεις Ονούφριε

τοις προσιούσι σοι θερμώς

και νόσων απαλλάττεις.

Ταπεινόν ως στρουθίον πολιτείαν αμέριμνον Πάτερ ήνυσας

και έτυχες της άνω αφάτου προμήθειας

εν ερήμω τρεφόμενος

διο καμέ μεριμνών ματαίων λύτρωσαί με.

Ως ερρύσω την χήραν Δικαστού εξ, αδίκου Χριστέ φιλάνθρωπε

καμοί ταις ικεσίαις του θείου Ονουφρίου

την δικαίαν απόφασιν δίδου μοι Σώτερ

τους κριτάς τοις νόμοις σου ιθύνων.

Θεοτοκίον

Μαριάμ Θεομήτορ υπερτέρα υπάρχουσα πάσης κτίσεως

μητρός τη παρρησία Χριστόν τον Ζωοδότην

ιλαρόν μοι απέργασαι και του ασβέστου πυρός

ανώτερον με δείξον.

*Ωδή η' Τον βασιλέα*

Το ιερόν σου θεοπρεπέστατον σκήνος

κεκρυμμένον τη γη ως χρυσίον

θησαυρός υπάρχει, Ονούφριε τω κόσμω.

Του Ονουφρίου ταις ιεραίς μεσιτείαις

περιφρούρει Χριστέ μου τον κόσμον

συμφορών φυλάττων, πολέμων ολεθρίων.

Οσιωτάτας χείρας απλώσας στοργή σου

περισκέπαζε Πάτερ λαόν σου

τους των Ορθοδόξων εχθρούς διασκεδάζων.

Θεοτοκίον

Ευλογημένη, θεοχαρίτωτε Κόρη

Τον Υιόν σου δυσώπει απαύστως

ώρα του θανάτου φωτί αυτού λαβείν με.

*Ωδή θ' Κυρίως Θεοτόκον*

Αγγέλους Πάτερ θείους την φωτοειδή σου

παραλαβόντας ψυχήν καθικέτευε

μη βδελυχθήναι ψυχήν μου την αδιόρθωτον.

Ονούφριε παμμάκαρ μη εγκαταλείπης

τους κακωθέντας δαιμόνων τοις τραύμασι

παραμυθίαν δωρούμενος τη πρεσβεία σου.

Πνιγμού θαλάσσης σώσον και εκ δικαζόντων

ανηλεώς και αδίκως τους δούλους σου

τη παναλκεί δεξιά σου, Πάτερ Ονούφριε.

Θεοτοκίον

Ανύμφευτε Μαρία άχραντε Παρθένε

το του Δεσπότου αμώμητον σκήνωμα

αισχρών παθών με απόπλυνον, πόθω δέομαι.

Άξιον εστίν....και τα Μεγαλυνάρια του Αγίου

Της ερήμου θρέμμα το θαυμαστόν

και των μοναζόντων τον ωραίον νυμφαγωγόν

τον καταβαλόντα εχθρού τας πανουργίας

Ονούφριον τον μέγαν πάντες τιμήσωμεν.

Πάτερ αξιάγαστε και εμού

μη επιλανθάνου ουρανίαις σου προσευχαίς

αλλά παρεδρεύων τω θρόνω του Κυρίου

μνημόνευέ μου μάκαρ σαίς παρακλήσεσι.

Μάστιγες ατόπων μου λογισμών

νουν τον σκοτισθέντα επηρεία του πονηρού

πάτερ θεοφόρε μαστίζουσιν απαύστως

εξ ων με ικεσίαις σου ελευθέρωσον.

Κριτή αδίκως και εμπαθώς

κρίνοντί με Πάτερ θείον δώρησαι φωτισμόν

και εμοί δικαίαν απόφασιν παράσχου

και των αδικουμένων φάνηθι πρόμαχος.

Πάσαι των Αγγέλων αι στρατιαί,

Πρόδρομε Κυρίου Αποστόλων η δωδεκάς

οι Άγιοι Πάντες μετά της Θεοτόκου

ποιήσατε πρεσβείαν εις το σωθήναι ημάς.

*Τρισάγιον και Απολυτίκιον Ήχος α΄*

Της ερήμου πολίτης και εν σώματι Άγγελος

και θαυματουργός ανεδείχθης θεοφόρε

Πατήρ ημών Ονούφριε.

νηστεία, αγρυπνία, προσευχή

ουράνια χαρίσματα λαβών

θεραπεύεις τους νοσούντας

και τας ψυχάς των πίστει προστρεχόντων σοί.

Δόξα τω δεδωκότι σοι ισχύν

δόξα τω σε στεφανώσαντι·

δόξα τω ενεργούντι δια σου

πάσιν ιάματα.

*Αίτησις και Απόλυσις*

*Είτα προ του Δι' ευχών ψάλλομεν το ακόλουθον*

*Ήχος β' Ότε εκ του ξύλου*

Χαίροις θεοδόξαστε φωστήρ

της μοναδικής πολιτείας,Πάτερ  Ονούφριε.

Χαίροις εγκαλλώπισμα της Εκκλησίας Χριστού

βοηθός των εν θλίψεσι, λιμήν των εν ζάλη

των εν περιστάσεσιν ταχύς επίκουρος,

χαίρε αδυνάτων προστάτης

χαίρε ο θυμόν καταπαύων δικαστού,

ευχαίς σου παναοίδιμε.

